πρυναν· νέοι γάρ, γέροντες, παιδία, καὶ ἁπαλὰ γύναια εὐθαρσῶς περιϊστάμενοι, καὶ τῶν θυρίδων προσβλέποντες, καὶ ταῖς εὐχαῖς ἐπὶ τὸ μακάριον αὐτῶν τέλος συναγωνιζόμενοι, θανάτου δι' αὐτῶν ὀλιγωρεῖν ἐπερρώσθησαν. Ἔτι γὰρ ἔναυλον ἔχουσι τοῦ γενναίου ἐκείνου ἀλείπτου τὴν φωνήν: ὕπνος ἡμῖν ἀδελφοὶ ὁ θάνατος, μηδεὶς δειλιάτω· μηδεὶς φοβείσθω· θνήσκομεν ἵνα ζήσωμεν· ὑπνώσωμεν ἵνα ἐγερθῶμεν· ὑπὲρ Χριστοῦ θνήσκομεν· Χριστὸς ἡμῖν ἡ ζωή, καὶ ἡ ἀνάστασις· χαρά, χαρά, χαρά, ἡμῖν! Οὗτος γὰρ ὁ μακάριος τελευταῖος ἐπαγόμενος πλησθεὶς πνεύματος οὑτωσὶ ἐπεφώνει, ὅλως ὢν περιχαρής, ὅλως φαιδρός, ὅλως ἀδεὴς καὶ ἄτρεστος, ἐπιστηρίζων τοὺς πάντας, καὶ ἐπιθαρρύνων πρὸς τὸ μαρτύριον, ὃς καὶ τελευταῖος ἐν μέσῃ τῇ ἀγορᾷ τὸν καλὸν δρόμον ἐπλήρωσε διὰ ξίφους, μετὰ τοὺς ἄλλους σφαγείς, πλήρη παραλαβὼν μαρτύρων χορόν, καὶ εἰς Χριστὸν ἀναδραμών. Οὕτως οὖν τελειωθέντων τῶν μακαρίων, διὰ τριῶν ἡμερῶν κειμένων ἀψχύστων τῶν ἱερῶν λειψάνων, εἶτα περισταλέντων ὑπὸ τῶν εὐσεβῶν, ἡμῖν ἀντὶ αἰσχύνης δόξα, τοῖς δὲ ἀσεβέσιν αἰσχύνη καὶ ὄνειδος τῶν ἐθνῶν καταβοώντων προσεγένετο. Καὶ θεήλατοι ἐνέσκηψαν σφίσι ποιναί.

Συνέσχε δὲ ἐν τοῖς αὐτοῦ ἄρκυσι καταγαγὼν τὸν Χαλκηδόνος Παρθένιον ὁ πατριάρχης, ἀπατήσας ὡς διαλλαγησόμενος, καὶ εἰς Κύπρον ἐξόριστον ἀπέωσε, παντελεῖ καθαιρέσει ὑποβαλών, τῇ τρίτῃ Νοεμβρίου τοῦ τρέχοντος, καὶ ἀντὶ αὐτοῦ προεβίβασεν εἰς Χαλκηδόνα τὸν Βιδύνης Ἱερεμίαν.

Ἀρχομένου δὲ τοῦ χιλιοστοῦ ἑπτακοσιοστοῦ ἐννενηκοστοῦ πρώτου σωτηρίου ἔτους, εἰς τέλος διέλυσε τὴν κατ' αὐτοῦ ἐπήρειαν ὁ παναγιώτατος κύριος Προκόπιος, προσπεσών, καὶ πάντα ὅσα εἶχεν ἐν σκεύεσι καὶ ἱεροῖς ἀμφιεσμοῖς ἐκτιμηθῆναι τοῖς φίλοις ἐπιτρέψας, καὶ δι' αὐτῶν ὀκτὼ τάλαντα τοῖς ἀπαιτοῦσιν ἀποδούς· οὕτως οὖν πολυτρόπως καταπαλαίσας τὸν προ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ